www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΩΝ ΕΝ ΚΙΝΑι ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ

(ἑορταζομένων τῇ Β΄ Κυριακῇ τοῦ Ματθαίου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* Ἅγιον Ὄρος Ἄθως *
*2009 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΤΗι Β΄ ΚΥΡΙΑΚΗι ΤΟΥ ΜΑΤΘΑΙΟΥ ΜΝΗΜΗ ΤΩΝ ΕΝ ΚΙΝΑι ΑΓΙΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΝΕΟΜΑΡΤΥΡΩΝ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα ϛ΄ καὶ τῶν Ἁγίων δ΄.*

*Στιχηρὰ Ἀναστάσιμα. Ἦχος α΄.*

Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι Ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας ἐν κόσμῳ τὴν ἀνάστασιν.

Κυκλώσατε λαοὶ Σιών, καὶ περιλάβετε αὐτήν, καὶ δότε δόξαν ἐν αὐτῇ τῷ ἀναστάντι ἐκ νεκρῶν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τὸν κόσμον λυτρωσάμενος.

Εὐφράνθητε οὐρανοί, σαλπίσατε τὰ θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνην· ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ τὰς ἁμαρτίας ἡμῶν, τῷ σταυρῷ προσήλωσε, καὶ ζωὴν ὁ διδούς, θάνατον ἐνέκρωσε, τὸν Ἀδὰμ ἀναστήσας, ὡς φιλάνθρωπος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὸν σαρκὶ ἑκουσίως σταυρωθέντα δι' ἡμᾶς, παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, ὑμνήσωμεν λέγοντες· Στήριξον ὀρθοδοξίᾳ τὴν Ἐκκλησίαν σου Χριστέ, καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Τῷ ζωοδόχῳ σου τάφῳ, παρεστῶτες οἱ ἀνάξιοι, δοξολογίαν προσφέρομεν τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι σταυρὸν κατεδέξω, καὶ θάνατον ἀναμάρτητε, ἵνα τῷ κόσμῳ δωρήσῃ τὴν Ἀνάστασιν, ὡς φιλάνθρωπος.

*Προσόμοια τῶν Ἁγίων Μαρτύρων.*
*Ἦχος.α'. Τῶν οὐρανίων ταγμάτων.*

Προγονικῆς πλάνης σκότος, σοφῶς ἐφύγετε, Χριστοῦ τὸ φῶς ἰδόντες, καὶ  Αὐτῷ συνταγέντες· βαπτίσματι δὲ θείῳ, μέλη σεπτά, Ἐκκλησίας γεγόνατε, πρῶτοι ὑμεῖς ἀθλοφόροι ἐκ τῶν Σινῶν, ἐν καρδίας ἀγαθότητι.

Ἐν καθαρότητι βίου, ἐπολιτεύεσθε, τὰς ἐντολὰς τηροῦντες, πιστῶς Εὐαγγελίου, φωτίζοντες τοὺς πέλας βίῳ ὑμῶν, ἀθλοφόροι πανεύφημοι·
διὸ τὸν φθόνον είλκύσατε πονηροῦ, καὶ προθύμως ἐνηθλήσατε.

Ἀποδεξάμενοι πίστει, τὴν προτροπὴν τοῦ Χριστοῦ, λέγοντος· μὴ φοβεῖσθε, ἐκ τῶν σῶμα κτεινόντων, ὡς πρόβατα συμψύχως πρὸς τὴν σφαγήν, ἐχωρήσατε Ἅγιοι, χῶμα τῆς Κίνας ποτίσαντες τοῖς ὑμῶν, ῥείθροις αἵματος μακάριοι.

Ὡς ἀπαρχαὶ Σινῶν γένους, Χριστῷ ἠνέχθητε, Μάρτυρες τοῦ Πεκίνου, διωγμὸν ὑποστάντες, καὶ μὴ καταδεχθέντες πίστιν ὑμῶν, ἐκ τοῦ φόβου ἀρνήσασθαι, ἀλλὰ ὡς λέοντες πνέοντες ζήλου πῦρ,
πρὸς σφαγὴν πάντες ἐδόθητε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δόξα. Ἦχος πλ.β΄.*

Ἀπὸ τοῦ σκότους τῆς πλάνης εἰς τὸ φῶς τοῦ Χριστοῦ,
καὶ ἐκ πιστῶν ἀνεδείχθητε καλλίνικοι μάρτυρες,
πλήρεις ζήλου καὶ θείας ἀγάπης,
πρῶτοι ὑμεῖς ἐκ τοῦ γένους τῶν Σινῶν,
βάθρα γενόμενοι ἀκράδαντα Ὀρθοδοξίας.
Ὅθεν, ἐν Παραδείσῳ νῦν κατατρυφῶντες,
εὔχεσθε ἑδραιωθῆναι ἐν τῇ πατρίδι ὑμῶν,
τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, θεοστεφάνωτοι.

*Καὶ νῦν. Θεοτοκίον τοῦ α΄ ἤχου.*

Τὴν παγκόσμιον δόξαν τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν
καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην,
ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον,
τῶν ἀσωμάτων τὸ ᾆσμα καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα.
Αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς καὶ ναὸς τῆς θεότητος·
αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα
εἰρήνην ἀντεισῆξε καὶ τὸν Παράδεισον ἠνέῳξε.
Ταύτην οὖν κατέχοντες, τῆς πίστεως τὴν ἄγκυραν
ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον.
Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ,
καὶ γὰρ Αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ὁ Κύριος ἐβασίλευσεν.*

***Τὰ μαρτυρικὰ ἀναγνώσματα***

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.*
*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς

ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*

*Ἦχος α'*

Τὴν πνευματικὴν πανοπλίαν περιζωσάμενοι, καὶ τῇ ἀγάπῃ τοῦ Χριστοῦ ἐκκαιόμενοι, οὐκ ἀπεστράφητε τὸ ὑπὲρ Αὐτοῦ μαρτύριον, ἀλλ' ἑκουσίως ἐθυσιάσθητε, ὑπὸ τῶν πλανωμένων συμφελετῶν, θεῖαι ἀπαρχαὶ γενόμενοι τῆς ἐπιγείου πατρίδος ὑμῶν, Νεομάρτυρες τῆς Κίνας.

Ὅθεν ἐλλιμενισθέντες εἰς τὴν ἀσάλευτον Πατρίδα, καὶ τὸν πάγκαλλον Χριστὸν καθορῶντες, πρεσβεύετε δεόμεθα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β'*

Ὡς πρόβατα χριστοσφράγιστα ἐν μέσῳ λύκων διαβιοῦντες, τὰ μὲν σώματα παρεδώκατε εἰς αἰκισμούς, τὰς δὲ ψυχὰς ἐν χειρὶ Αὐτοῦ ὁ Χριστὸς προσελάβετο, Ὅστις καὶ κατέστεψεν ὑμᾶς τῷ ἀμαράντῳ στέφει, καὶ κατέταξεν ἐν χώρᾳ ζώντων μακαριώτατοι, Κινέζων τὰ μαρτυρικὰ ἀκροθίνια.

*Ἦχος γ'*

Τῆς δαιμονολατρείας τὰ δεσμὰ διαῤῥήξαντες, τῇ ἐλευθερίᾳ τοῦ Χριστοῦ ὑπεζεύχθητε, ἀθλοφόροι φιλόθεοι. Ζῶσαι δὲ εἰκόνες εὐαγγελίου ὑπάρχοντες, αὐτοῦ καὶ πληρωταὶ διὰ τοῦ μαρτυρίου ἐδείχθητε, πρεσβεύοντες διὰ παντὸς τῷ Δεσπότῃ, ὅπως τὸ ἔρεβος τῆς πλάνης,
ἐκ τῆς πατρίδος ὑμῶν ἀπελαθῇ ὡς τάχιστα.

*Ἦχος δ΄*

Οὐκ ἄξια ἐλογίσθητε τὰ ὑπὲρ Χριστοῦ παθήματα, ὅπως κληρονόμοι γένησθε τῆς αἰωνίου ζωῆς, ἅγιοι Μάρτυρες τῆς Κίνας. Ὡς ἄρνες γὰρ πρὸς σφαγὴν ὁδηγηθέντες, ποικίλως ἐβασανίσθητε, λαβόντες τὸ βραβεῖον τῆς ζωῆς. Διό ἱκετεύσατε καὶ ὑπὲρ ἡμῶν, ἵνα τὴν φλόγα τῆς θείας ἀγάπης μὴ σβέσωμεν εἰς θάνατον.

*Δόξα. Ἦχος πλ.α΄*

Ὦ θύματα τῆς ἀγάπης τοῦ Χριστοῦ! ὦ θεόφλεκτοι Μάρτυρες τῆς Κίνας!
ὦ πληρωταὶ τέλειοι τοῦ Εὐαγγελίου! Ὑμεῖς γὰρ ἔργῳ ἐσφραγίσατε τὴν πίστιν, καὶ τοῖς τιμίοις αἵμασιν ὑμῶν, τὸ νεόφυτον δένδρον τῆς Ὀρθοδοξίας, εἰς αὐξητικὴν στερέωσιν ἐκεῖσε ἐποτίσατε.
Πρεσβεύσατε, δεόμεθα, παγγενῶς μακάριοι,
ὑπὲρ τῶν πίστει τιμώντων τὸ σεπτὸν ὑμῶν μαρτύριον

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε,
οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν κραταιὰν προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Ψάλλομεν στιχηρὰ προσόμοια. Πρῶτον τὸ ἀναστάσιμον. Ἦχος α΄.*

Τῷ πάθει σου Χριστέ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ Ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν. Κύριε δόξα σοι.

*Εἶτα· Προσόμοια τῶν Ὁσίων.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ὅτε τῶν δαιμόνων λατρευταί, καθ’ὑμῶν ἠγέρθησαν ἄφνω,
ὡς θῆρες ἄγριοι, τότε τρισμακάριοι, λαμπρῶς τὸν Κύριον,
ὡς Θεὸν ἐκηρύξατε, ἐλέγξαντες πλάνην, τὴν πατροπαράδοτον ἐξ ἧς ἐῤῥύσθητε, στέφος ἐκ Χριστοῦ εἰληφότες,
τὴν Ὀρθοδοξίαν τῆς Κίνας, αἵματος ἐκχύσει ἐποτίσατε.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ὅτε ὡς ἐπίσημος κριός, θύτης τοῦ Χριστοῦ Μητροφάνης, σὺν ἑβδομήκοντα, χριστωνύμοις ἤθλησε, τότε ἐκρότησαν, τῶν Ἀγγέλων τὰ τάγματα, καὶ βίβλῳ τῇ θείᾳ, ἔγραψαν ὀνόματα, μαρτυρησάντων κλεινῶς, γράμμασι χρυσοῖς καὶ τὰς θύρας, κεκλεισμένας οὔσας τὸ πρῴην, Παραδείσου χαίροντες ἠνέωξαν.

*Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Σύναθλος ἐδείχθη θαυμαστῶς, ἡ Τατιανὴ πρεσβυτέρα, θείου συζύγου αὐτῆς, ὡς ὁλοκαυτώματα, δύο υἱοὺς τῷ Χριστῷ,
ἐν χαρᾷ προσενέγκαντες, ὁ δὲ Παῦλος χείλη, εἰς εὐχὴν ἐκίνησεν,
ὑπὲρ δεινῶν διωκτῶν, Ἴα τε καὶ παῖς Ἰωάννης,
ἅμα σὺν Μαρίᾳ παρθένῳ, τὸν Υἱὸν Παρθένου ὡμολόγησαν.

*Δόξα. Ἦχος δ΄.*

Τὴν σταυροφόρον ὁδὸν τοῦ Εὐαγγελίου ἀκλινῶς βαδίσαντες,
τὴν ἄγουσαν εἰς τὴν αἰώνιον ζωήν, διὰ μαρτυρίων τέκνα Θεοῦ πιστά,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ κληρονόμοι ἐπάξιοι γεγόνατε, τοῦ ἀρχιμάρτυρος Χριστοῦ, μεθ' Οὗ νῦν ἀπολαύοντες τοῦ ἀλήκτου γλυκασμοῦ, πρεσβεύσατε φωτισθῆναι καὶ τοὺς συμφυλέτας ὑμῶν, ἀθλοφόροι Κίνας οἱ θεοστεφάνωτοι.

*Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν, Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοι πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.*
*Ἀπολυτίκια, τὸ ἀναστάσιμον.*

*Ἦχος α'.*

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων,
καὶ στρατιωτῶν φυλασσόντων, τὸ ἄχραντόν σου σῶμα,
ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν.
Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν, ἐβόων σοι Ζωοδότα·
Δόξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου,
δόξα τῇ οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε.

*Τῶν Ἁγίων. Ἦχος γ'. Τὴν ὡραιότητα.*

Πλάνην πατήσαντες, πατρῴαν Μάρτυρες,
Χριστὸν ἐπέγνωτε, Θεὸν καὶ Κύριον,
Ὃν γενναιότητι ψυχῆς κηρύξαντες ὡς Σωτῆρα,
πάθη ὑπεμείνατε, καὶ βασάνους ὡς ἄσαρκοι,
στέφος τὸ ἀμάραντον, ἐξ Αὐτοῦ εἰσδεξάμενοι·
καὶ νῦν ὑπὲρ τῆς Κίνας ἁπάσης,
πρεσβεύετε ἰδεῖν τὸ φῶς τῆς γνώσεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον, ὁμόηχον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν ἡμῶν,
ἀνυμνοῦμεν, Θεοτόκε Παρθένε.
Ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ,
ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν,
τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος,
ἐλυτρώσατο ἡμᾶς,
ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν· Καθίσματα. Ἦχος α΄. Αὐτόμελον.*

Τὸν τάφον σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν Ἀνάστασιν. Σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

*Δόξα. Ὅμοιον.*

Σταυρῷ προσηλωθείς, ἑκουσίως Οἰκτίρμον, ἐν μνήματι τεθείς, ὡς θνητὸς Ζωοδότα, τὸ κράτος συνέτριψας, Δυνατὲ τῷ θανάτῳ σου· σὲ γὰρ ἔφριξαν, οἱ πυλωροὶ οἱ τοῦ ᾅδου, σὺ συνήγειρας, τοὺς ἀπ’ αἰῶνος θανέντας, ὡς μόνος φιλάνθρωπος.

*Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν τὴν μόνην Πανάμωμον.

*Μετὰ τὴν β΄ στιχολογίαν.Κάθισμα τῶν Νεομαρτύρων.*
*Ἦχος δ΄.Ταχὺ προκατάλαβε.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μαρτύρων ἰσότιμοι τῶν ἀπ᾽ αἰώνων Χριστοῦ, δειχθέντες μακάριοι, ἴσα τὰ στέφη ὑμῶν, ἀξίως ἐδέξασθε. Πᾶσαν τὴν Ἐκκλησίαν, ἐκλεΐσατε δόξῃ, γένους Σινῶν φανέντες, ἀκροθίνια θεῖα, καὶ νῦν τῷ Στεφοδότῃ λαμπρῶς, ἀεὶ εὐφραίνεσθε.

*Δόξα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Οὐ βίου ἡδοναί, καὶ σαρκὸς ἀπολαύσεις, ἐξίσχυσαν ὑμᾶς, μαρτυρίου κωλῦσαι, ἀλλ᾽ ἔρως ὁ ἄϋλος, τοῦ Κυρίου ἐνίσχυσε, πᾶσαν βάσανον καταφρονῆσαι γενναίως, ὅπως μέτοχοι τοῦ Παραδείσου ὀφθῆτε, Σινῶν πρωτομάρτυρες.

*Καὶ νῦν. Θεοτοκίον.*

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

*Ὁ Ἄμωμος. Τὰ ἀναστάσιμα Εὐλογητάρι. Ἡ Ὑπακοή. Ἦχος α΄.*

Ἡ τοῦ Λῃστοῦ μετάνοια, τὸν παράδεισον ἐσύλησεν, ὁ δὲ θρῆνος τῶν Μυροφόρων τὴν χαρὰν ἐμήνυσεν· ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

*Κάθισμα τῶν Ἁγίων. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Οὐ γραφίδι μελάνης πίστιν ὑμῶν, ὑπεγράψατε Μάρτυρες τοῦ Χριστοῦ, ἀλλ᾽ αἷμα ἐδώκατε, ὥσπερ δῶρον πολύτιμον, τῷ καλῷ Δεσπότῃ, τὴν δύναμιν Πνεύματος, ἐνδυθέντες πάντες, πρὸς ἄθλους χωρήσαντες. Ὅθεν τὰς βασάνους, ὡς τρυφὰς λογισθέντες, τὸν φόβον ἀπώσασθε, τὸν φιλόζωον Ἅγιοι, καὶ ὡς θύματα τέλεια, φανέντες Παραδείσου λαμπροῦ, εἰς τὰ πλάτη ἐφθάσατε, ἱκετεύοντες πόθῳ, ὑπὲρ Κίνας ἔνδοξοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη τῷ κόσμῳ καὶ ἄφεσις τῶν ἀρχαίων ἐγκλημάτων· διὰ τοῦτο βοῶμεν αὐτῇ· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον Τόκον σου.

*Οἱ Ἀναβαθμοί.*

*Ἀντίφωνον Α΄.*

Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν, Κύριε σοὶ κράζω.
Τοῖς ἐρημικοῖς, ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

*Δόξα. Καὶ νῦν.*

Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρί, πρέπει ἅμα καὶ Υἱῷ· διὰ τοῦτο ᾄσωμεν τῇ Τριαδικῇ Μονοκρατορίᾳ.

*Ἀντίφωνον Β΄.*

Εἰς τὰ ὄρη τῶν σῶν, ὕψωσάς με νόμων, ἀρεταῖς ἐκλάμπρυνον, ὁ Θεός, ἵνα ὑμνῶ σε.
Δεξιᾷ σου χειρὶ λαβὼν σὺ Λόγε, φύλαξόν με, φρούρησον, μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

*Δόξα. Καὶ νῦν.*

Ἁγίῳ Πνεύματι, πᾶσα ἡ κτίσις καινουργεῖται, παλινδρομοῦσα εἰς τὸ πρῶτον· ἰσοσθενὲς γάρ ἐστι Πατρὶ καὶ Λόγῳ.

*Ἀντίφωνον Γ΄.*

Ἐπὶ τοῖς εἰρηκόσι μοι· Ὁδεύσωμεν εἰς τὰς αὐλὰς τοῦ Κυρίου· εὐφράνθη μου τὸ Πνεῦμα, συγχαίρει ἡ καρδία.

Ἐπὶ οἶκον Δαυΐδ, φόβος μέγας· ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων, κριθήσονται ἅπασαι, αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι.

*Δόξα. Καὶ νῦν.*

Ἁγίῳ Πνεύματι, τιμὴν προσκύνησιν, δόξαν καὶ κράτος, ὡς Πατρί τε ἄξιον, καὶ τῷ Υἱῷ δεῖ προσφέρειν· Μονὰς γάρ ἐστιν ἡ Τριὰς τῇ φύσει, ἀλλ' οὐ προσώποις.

*Προκείμενον.*
Νῦν ἀναστήσομαι, λέγει Κύριος, θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ.
Στίχ. *Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.*

Εἶτα, Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Β' Ἑωθινόν.
Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄ ψαλμός.
Δόξα. Ταῖς τῶν Ἀποστόλων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
*εἶτα· Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν, τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.
*Σῶσον ὁ Θεὸς τὸν λαόν σου....*

**ΟΙ ΚΑΝΟΝΕΣ**
*Κανὼν Ἀναστάσιμος.*
*Ὠιδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.*

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται· αὕτη γάρ, Ἀθάνατε ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Ὁ χερσὶν ἀχράντοις ἐκ χοός, θεουργικῶς κατ' ἀρχὰς διαπλάσας με, χεῖρας διεπέτασας, ἐν τῷ Σταυρῷ, ἐκ γῆς ἀνακαλούμενος, τὸ φθαρέν μου σῶμα, ὃ ἐκ Παρθένου προσείληφας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νέκρωσιν ὑπέστη δι᾽ ἐμέ, καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωσιν, ὁ ἐμπνεύσει θείᾳ ψυχὴν μοι ἐνθείς· καὶ λύσας αἰωνίων δεσμῶν, καὶ συναναστήσας, τῇ ἀφθαρσίᾳ ἐδόξασε.

*Θεοτοκίον*

Χαῖρε ἡ τῆς χάριτος πηγή· χαῖρε ἡ κλῖμαξ καὶ πύλη οὐράνιος· χαῖρε ἡ λυχνία καὶ στάμνος χρυσῆ, καὶ ὄρος ἀλατόμητον, ἡ τὸν ζωοδότην Χριστόν, τῷ κόσμῳ κυήσασα.

*τῆς Ὑπεραγίας Θεοτόκου.*

Ποίαν σοι ἐπάξιον ᾠδήν, ἡ ἡμετέρα προσοίσει ἀσθένεια, εἰ μὴ τὴν χαρμόσυνον, ἣν Γαβριὴλ ἡμᾶς ἐμυσταγώγησε! Χαῖρε Θεοτόκε, παρθένε Μήτηρ ἀνύμφευτε.

Τῇ Ἀειπαρθένῳ καὶ Μητρί, τοῦ Βασιλέως τῶν ἄνω Δυνάμεων, ἐκ καθαρωτάτης καρδίας πιστοί, πνευματικῶς βοήσωμεν· Χαῖρε Θεοτόκε, παρθένε Μήτηρ ἀνύμφευτε.

*ὁ Κανὼν τῶν Ἁγίων Μαρτύρων, οὗ ἡ ἀκροστιχίς:*

**"Κίνας τιμήσω χριστομάρτυρας ὕμνοις. Ἀ(θανάσιος)".**

*Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Κινῶν μου τὴν ἄμουσον, λύραν ὑμνῆσαι τοὺς Μάρτυρας, τῆς Κίνας ἐν ᾄσμασι καθικετεύω Χριστέ, ὅπως χείλη μου, ἀκάθαρτα καθάρῃς, τοῦ Πνεύματος ἄνθρακι, πάντας ἁγνεύοντι.

Ἰσχὺν ἐνεδύσασθε, ἥν ὁ Παράκλητος δίδωσι, καί ὤφθητε λέοντες, πῦρ ἀποπνέοντες· ὅθεν Μάρτυρες, πρὸς ἄθλους οὐρανίους, γενναίως χωρήσαντες, ἐστεφανώθητε.

Ναοὶ ἐγεγόνατε, τῆς ἐν Τριάδι θεότητος, τὰ ἄνω σκοπήσαντες, ἐν πόθῳ ζέοντι, διὸ ἅπαντα, τὰ γήϊνα ἀφέντες, βασάνοις ἐφθάσατε, εἰς Πόλιν ἄσειστον.

*Θεοτοκίον*

Ἀχράντως κυήσασα, τὸν Βασιλέα τῆς κτίσεως, πανάμωμος ἔμεινας καὶ μετὰ γέννησιν, ἁγιάζουσα, πρεσβείαις σου ἁγίαις, τοὺς σὲ μεγαλύνοντας, Μῆτερ ἀνύμφευτε.

*Καταβασία. Ἀνοίξω τὸ στόμα μου.*

*ᾨδὴ γ΄. Ἀναστάσιμος. Ὁ Εἱρμός.*
Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀχράντου σου δόξης φιλάνθρωπε.

Θεός μου ὑπάρχων Ἀγαθέ, πεσόντα κατῳκτείρησας, καὶ καταβῆναι πρός με ηὐδόκησας, ἀνύψωσάς με διὰ σταυρώσεως, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ τῆς δόξης Κύριος, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ζωὴ ἐνυπόστατος Χριστέ, ὑπάρχων καὶ φθαρέντα με, ὡς συμπαθὴς Θεὸς ἐνδυσάμενος, εἰς χοῦν θανάτου καταβὰς Δέσποτα, τὸ θνητὸν διέῤῥηξας, καὶ νεκροὺς τριήμερος, ἀναστὰς ἀφθαρσίαν ἠμφίεσας.

*Θεοτοκίον.*
Θεὸν συλλαβοῦσα ἐν γαστρί, Παρθένε διὰ Πνεύματος, τοῦ Παναγίου ἔμεινας ἄφλεκτος· ἐπεί σε βάτος τῷ νομοθέτῃ Μωσῇ, φλεγομένη ἄκαυστα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

*Κανὼν τῆς Θεοτόκου. Ὁ μόνος εἰδώς.*
Νεφέλην σε κούφην ἀψευδῶς, Παρθένε, ὀνομάζομεν, προφητικαῖς ἑπόμενοι ῥήσεσιν· ἐλήλυθε γὰρ ἐπὶ σοὶ Κύριος, καθελεῖν αἰγύπτια, πλάνης χειροποίητα, καὶ φωτίσαι τοὺς ταῦτα λατρεύοντας.

Σὲ ἐσφραγισμένην ἀληθῶς, χορὸς Προφητικός, πηγήν, καὶ κεκλεισμένην πύλην ὠνόμασε, τῆς παρθενίας τῆς σῆς Πανύμνητε, τηλαυγῶς τὰ σύμβολα, ἡμῖν διαγράφοντα, ἣν ἐφύλαξας καὶ μετὰ γέννησιν.

*Τῶν Ἁγίων. Τοὺς σοὺς ὑμνολόγους.*

Σινῶν τὴν κενὴν φιλοσοφίαν, καὶ πλάνην ἀφέντες πατρικήν, πρὸς φῶς Χριστοῦ είλκύσθητε, καὶ νοῦν Αὐτοῦ φορέσαντες, ἰσάγγελον ἐσχήκατε, βίον πανόλβιοι Μάρτυρες.

Τὸν νόμον φυλάττοντες Κυρίου, εἰργάζεσθε πᾶσαν ἀρετήν, τὴν πρὸς Αὐτὸν ἁρμόζουσαν, καὶ φωτισμὸν τὸν ἔνθεον, ἐν ταῖς ψυχαῖς δεξάμενοι,
φῶτα ἐγένεσθε δεύτερα.

Ἰθύνας τὴν ποίμνην σου θεόφρον, Μητρόφανες πρὸς ἁγιασμόν, τοὺς λόγους ἐπεσφράγισας, ἐκχύσει τοῦ σοῦ αἵματος, ὡς πανοικεὶ γενόμενος, Χριστῷ θυσία εὐάρεστος.

*Θεοτοκίον.*

Μαρτύρων τὴν ἔνθεον ἀγάπην, τῆς Κίνας πρὸς σὸν Υἱὸν Ἁγνή, ταύτην ψυχαῖς κατάβαλε, ὁμογενέσι τάχιστα, τούτων οἳ κατηξίωνται, Ὀρθοδοξίας χαρίσματος.

*Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.*

*καὶ ἀναγινώσκεται τό ἀναστάσιμον Κοντάκιον.*

Ἐξανέστης ὡς Θεὸς ἐκ τοῦ τάφου ἐν δόξῃ,
καὶ κόσμον συνανέστησας καὶ ἡ φύσις τῶν βροτῶν,
ὡς Θεόν σε ἀνύμνησε καὶ θάνατος ἠφάνισται
καὶ ὁ Ἀδὰμ χορεύει, Δέσποτα, καὶ ἡ Εὔα νῦν
ἐκ τῶν δεσμῶν λυτρουμένη χαίρει κράζουσα·
Σὺ εἶ ὁ πᾶσι παρέχων, Χριστέ, τὴν Ἀνάστασιν.

***Ὁ Οἶκος.***

Τὸν ἀναστάντα τριήμερον ἀνυμνήσωμεν, ὡς Θεὸν παντοδύναμον, καὶ πύλας τοῦ Ἅδου συντρίψαντα, καὶ τοὺς ἀπ' αἰῶνος ἐκ τάφου ἐγείραντα, Μυροφόροις ὀφθέντα καθὼς ηὐδόκησε, πρώταις ταύταις τό, Χαίρετε, φήσας, καὶ Ἀποστόλοις χαρὰν μηνύων, ὡς μόνος

ζωοδότης. Ὅθεν πίστει αἱ Γυναῖκες, Μαθηταῖς σύμβολα νίκης εὐαγγελίζονται, καὶ ᾅδης στενάζει, καὶ θάνατος ὀδύρεται, καὶ κόσμος ἀγάλλεται, καὶ πάντες συγχαίρουσι· Σὺ γὰρ παρέσχες πᾶσι Χριστὲ τὴν Ἀνάστασιν.

*Κάθισμα .Ἦχος δ΄ .Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.*

Ἐπιποθοῦντες τὴν τρυφὴν Παραδείσου, καὶ θεωρίαν τοῦ προσώπου Δεσπότου, προθύμως προσηνέχθητε ὡς πρόβατα σφαγῆς, καὶ καταφρονήσαντες τὰ παρόντα γενναίως, θάνατον ἠνέγκατε καὶ βασάνους ποικίλας, ὅθεν τὸ στέφος πάντες τῆς ζωῆς, ἐκ τοῦ Κυρίου, ἐλάβετε Μάρτυρες.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Τῆς ἀρετῆς καὶ μετανοίας τὴν τρίβον, τὴν τεθλιμμένην καὶ στενὴν καὶ τραχεῖαν, χαρμονικῶς ὁδεύειν με ἐνίσχυσον Ἁγνή· πλάτυνον ἐν θλίψεσι τὴν στενήν μου καρδίαν, πλούτισον ἐν πράξεσιν, ἀγαθαῖς τὴν ψυχήν μου, καὶ ἐκ παθῶν στενώσεως αὐτήν, εἰς πλατυσμὸν ἀπαθείας ἐξάγαγε.

*Ὠιδὴ δ΄. Ἀναστάσιμος. Ἦχος α΄. Ὁ Εἱρμός.*

Ὄρος σε τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακούμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τίς οὗτος, Σωτήρ, ὁ ἐξ Ἐδὼμ ἀφικόμενος, στεφηφορῶν ἐξ ἀκανθῶν, πεφοινιγμένος τὴν στολήν, ἐν ξύλῳ κρεμάμενος; Τοῦ Ἰσραὴλ ὑπάρχει οὗτος ὁ Ἅγιος, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ἴδετε λαὸς τῶν ἀπειθῶν, καὶ αἰσχύνθητε· ὃν ὡς κακοῦργον γὰρ ὑμεῖς, ἀναρτηθῆναι ἐν σταυρῷ, Πιλάτῳ ᾐτήσασθε φρενοβλαβῶς, θανάτου λύσας τὴν δύναμιν, θεοπρεπῶς ἐξανέστη τοῦ μνήματος.

*Θεοτοκίον.*

Ξύλον σε Παρθένε τῆς ζωῆς ἐπιστάμεθα· οὐ γὰρ τῆς βρώσεως καρπός, θανατηφόρος τοῖς βροτοῖς, ἐκ σοῦ ἀνεβλάστησεν, ἀλλὰ ζωῆς τῆς ἀϊδίου ἀπόλαυσις, εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

*Κανὼν τῆς Θεοτόκου. Ὄρος σε τῇ χάριτι.*

Ἄκουε θαυμάτων οὐρανέ, ἐνωτίζου δὲ ἡ γῆ, ὅτι θυγάτηρ χοϊκοῦ, τοῦ πεπτωκότος μὲν Ἀδάμ, Θεοῦ ἐχρημάτισε, τοῦ ἑαυτῆς Δημιουργοῦ τε λοχεύτρια, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὑμνοῦμεν τὸ μέγα καὶ φρικτὸν σου μυστήριον· ὑπερκοσμίους γὰρ λαθών, ταξιαρχίας ἐπὶ σέ, ὁ Ὢν καταβέβηκεν, ὡς ὑετός, ὁ ἐπὶ πόκον, Πανύμνητε, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

*Τῶν Ἁγίων. Τὴν ἀνεξιχνίαστον.*

Ἤνεγκε τῆς Κίνας ἄγονος γῆ, θείᾳ ἐπομβρίᾳ τοῦ Πνεύματος, Μαρτύρων πλῆθος, ὑποστάντων καρτερῶς, φιλοθεΐας ἕνεκα, ἐξ ὁμογενῶν φρικτὸν θάνατον.

Σώματα προδόντες εἰς αἰκισμούς, τούτους οὐκ ᾐσθάνεσθε Μάρτυρες, ἔχοντες χάριν, ἐκ τῆς καύσεως πολλήν, ἥν περ Χριστὸς χαρίζεται, τοῖς Αὐτὸν ἐρῶσιν ὑπέρμετρα.
Ὥσπερ ἄρνες ἄμωμοι τοῦ Χριστοῦ, πρὸς σφαγὴν ἠνέχθητε Μάρτυρες, καὶ τῶν δαιμόνων, κατεβάλετε ἰσχύν, Κίνας δειχθέντες πρώτιστοι, πρέσβεις πρὸς Τριάδα τὴν ἄκτιστον.

*Θεοτοκίον.*

Χάριν εὑρηκυῖα παρὰ Θεοῦ, ἄληκτον Παρθένε Πανάχραντε, καὶ ἐν τῇ Κίνᾳ, ἦσθα χάρμα τῶν πιστῶν, οἵτινες τὸ μαρτύριον, διὰ Ἰησοῦν προσεδέξαντο.

*Καταβασία. Τὴν ἀνεξιχνίαστον.*

*Ὠιδὴ ε΄. Ἀναστάσιμος. Ἦχος α΄. Ὁ Εἱρμός.*

Ὁ φωτίσας τῇ ἐλλάμψει, τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου, τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον, φωτὶ τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τὸν ποιμένα τῶν προβάτων, τὸν μέγαν καὶ Κύριον, Ἰουδαῖοι διὰ ξύλου σταυροῦ ἐθανάτωσαν· ἀλλ' αὐτὸς ὡς πρόβατα νεκρούς, ἐν ᾅδη τεθαμμένους, κράτους θανάτου ἐῤῥύσατο.

Τῷ Σταυρῷ σου τὴν εἰρήνην, εὐαγγελισάμενος, καὶ κηρύξας αἰχμαλώτοις Σωτήρ μου τὴν ἄφεσιν, τὸν κρατοῦντα ᾔσχυνας, Χριστέ, γυμνὸν ἠπορημένον, δείξας τῇ θείᾳ ἐγέρσει σου.

*Θεοτοκίον.*

Τὰς αἰτήσεις τῶν πιστῶς αἰτουμένων, Πανύμνητε, μὴ παρίδῃς, ἀλλὰ δέχου, καὶ ταύτας προσάγαγε, τῷ Υἱῷ σου Ἄχραντε Θεῷ, τῷ μόνῳ εὐεργέτῃ· σὲ γὰρ προστάτιν κεκτήμεθα.

*Κανὼν τῆς Θεοτόκου. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Εὐφραίνονται, οὐρανῶν αἱ Δυνάμεις, ὁρῶσαί σε, ἀγάλλονται σὺν αὐταῖς, τῶν βροτῶν τὰ συστήματα· τῷ γὰρ τόκῳ ἥνωνται τῷ σῷ, Παρθένε Θεοτόκε· ὃν ἐπαξίως δοξάζομεν.

Κινείσθωσαν, πᾶσαι γλῶσσαι βροτεῖαι καὶ ἔννοιαι, πρὸς ἔπαινον τοῦ βροτῶν, ἀληθῶς καλλωπίσματος· ἡ Παρθένος παρέστη σαφῶς, δοξάζουσα τοὺς πίστει, ταύτης ὑμνοῦντας τὰ θαύματα.

*Τῶν Ἁγίων. Ἐξέστη τὰ σύμπαντα.*

Ῥεόντων τὸ ἄστατον, εἰδότες παμμακάριστοι, βίον ἀπηρνήσασθε τὸν ὧδε, καὶ ὡς στρουθία κατεπετάσθητε, πρὸς τὴν Βασιλείαν οὐρανῶν, ἔνθα σὺν τοῖς Μάρτυσι, καὶ Ἁγίοις ἀγάλλεσθε.

Ἰσχὺν ἐνδυσάμενος, τοῦ Πνεύματος μακάριε, θεῖε Ἰωάννη παιδομάρτυς, πλῆθος βασάνων στεῤῥῶς ὑπέμεινας, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, καὶ χοροὺς ἐξέπληξας, τῶν Ἁγίων ἐνστάσει σου.

Σωτὴρ ἐστεφάνωσε, Τατιανὴ τὴν κάραν σου, τὴν ὑπὲρ Αὐτοῦ ἀποτμηθεῖσαν, καὶ Παραδείσου τὰς θύρας ἤνοιξεν, ἔνθα σὺν συζύγῳ ἱερεῖ, καὶ τοῖς συγγενέσι σου, τόπον δόξης δεδώρηται

*Θεοτοκίον.*

Τῇ σκέπῃ σου σκέπασον, πιστοὺς τῆς Κίνας Ἄχραντε, οἵτινες Υἱόν σου προσκυνοῦσι, καὶ Ὀρθοδόξῳ βίῳ πορεύονται, ὅπως ἀποδώσωσι καρπούς, καὶ κληρονομήσωσι, Βασιλείαν τὴν ἄφθαρτον.

*Καταβασία.Ἐξέστη τὰ σύμπαντα.*

*Ὠιδὴ ϛʹ. Ἀναστάσιμος. Ἦχος αʹ. Ὁ Εἱρμός.*

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος· οὐκ ἔστιν ὁ ῥυόμενος· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν· σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων, καὶ ἐπανόρθωσις.

Τῷ πταίσματι τοῦ πρωτοπλάστου Κύριε, δεινῶς ἐτραυματίσθημεν· τῷ δὲ μώλωπι ἰάθημεν τῷ σῷ, ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίσθης Χριστέ· σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων, καὶ ἐπανόρθωσις.

Ἀνήγαγες ἡμᾶς ἐξ ᾅδου Κύριε, τὸ κῆτος χειρωσάμενος, τὸ παμφάγον Παντοδύναμε, τῷ σῷ κράτει καθελὼν αὐτοῦ τὴν δύναμιν· σὺ γὰρ ζωὴ καὶ φῶς ὑπάρχεις, καὶ ἡ ἀνάστασις.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εὐφραίνονται ἐν σοί, Παρθένε ἄχραντε, τοῦ γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ ἀπολαβόντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν· σὺ γὰρ ἁγνή, καὶ πρὸ τοῦ τόκου καὶ μετὰ γέννησιν.

*Κανὼν τῆς Θεοτόκου. Ἐκύκλωσεν ἡμᾶς.*

Παρίστανται δουλοπρεπῶς τῷ τόκῳ σου, αἱ τάξεις αἱ οὐράνιαι, ἐκπληττόμεναι ἀξίως τὸ τῆς σῆς ἀσπόρου λοχείας Ἀειπάρθενε· σὺ γὰρ ἁγνὴ καὶ πρὸ τοῦ τόκου καὶ μετὰ γέννησιν.

Σεσάρκωται ὁ πρὶν ὑπάρχων ἄσαρκος, ὁ Λόγος ἐκ σοῦ Πάναγνε, ὁ τὰ σύμπαντα βουλήματι ποιῶν, ὁ τῶν ἀσωμάτων τὰ στρατεύματα, παραγαγὼν ἐκ τοῦ μὴ ὄντος, ὡς παντοδύναμος.

*Τῶν Ἁγίων. Τὴν θείαν ταύτην.*

Οὐ κόσμου Ἴα σε θέλγητρα, οὐ βίου τοῦ παρόντος ἡδύτητες, οὐδὲ αἱ βάσανοι, τοῦ Διδασκάλου ἐχώρισαν, δι᾽ Ὃν χαρᾷ ὑπέστης, βίαιον θάνατον.

Ματαίως Παῦλε ὑπέβαλον, σὲ πλάνης ὑπηρέται εἰς θάνατον, οὓς συνεχώρησας, ὡς τῶν Μαρτύρων ὁ πρώτιστος, καὶ χαίρων τὰ βραβεῖα τῆς δόξης εἴληφας.

Ἀθανασίαν προέκρινας, σοφῶς ὦ Ἠσαΐα μακάριε, καὶ γάμον πρόσκαιρον, μετὰ Μαρίας παρίδετε, Νυμφίῳ συναφθέντες, καλῶς ἀθλήσαντες.

*Θεοτοκίον.*

Ῥωσθέντες Κίνας οἱ Μάρτυρες, Υἱοῦ σου ἀγαπήσει Πανάμωμε, θύματα ἄμωμα, Αὐτῷ προθύμως προσήχθησαν, τοῖς αἵμασι τὴν πίστιν ἐπισφραγίσαντες.

*Καταβασία. Τὴν θείαν ταύτην.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Κοντάκιον τῶν Μαρτύρων. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τῶν παλαιῶν ἐκμιμηταὶ ἀθλοφόρων,
ἐν τοῖς ἐσχάτοις ἀνεδείχθητε χρόνοις,
ὑπὲρ Χριστοῦ μακάριοι ἀθλήσαντες στεῤῥῶς·
αἵμασι ποτίσαντες Ἐκκλησίαν τῆς Κίνας,
στέφανον εἰλήφατε ἐκ χειρὸς τοῦ Κυρίου,
Ὧι παρεστῶτες μνήσθητε ἀεί,
τῶν γεραιρόντων ὑμῶν τὰ παλαίσματα.

**Ὁ Οἶκος**

Μαρτύρων θάνατος ἡδὺς καὶ εὐφροσύνης πλήρης, ὅτι αἱ διὰ τὸν Χριστὸν ὕβρεις καὶ βάσανοι πλεονασμὸν παρέχουσιν τιμῆς. Ὅθεν καὶ ἡ μυριοφόρος πληθὺς τῶν ἐν Κίνᾳ ἀθλησάντων, χαρᾶς πνευματικῆς τῇ Ἐκκλησίᾳ πάσῃ γέγονε σήμερον πρόξενος, θαυμαζούσῃ τὸ μὲν τὴν γενναιότητα καὶ καρτερίαν τοῦ φρονήματος αὐτῶν, τὸ δὲ τὴν ἀκατάβλητον ὁμολογίαν τῆς πίστεως, δι᾽ ὧν ποικιλοτρόπως θανατωθέντες, ἐδόξασαν τὸν στεφοδότην Ἰησοῦν. Τούτους καὶ ἡμεῖς χρεωστικῶς ὡς φιλομάρτυρες ἑορτάζοντες, πίστει ἀναβοῶμεν· Ἀθληταὶ τοῦ Κυρίου ἀξιόθεοι, Αὐτῷ παρεστῶτες μνήσθητε ἀεί, τῶν γεραιρόντων ὑμῶν τὰ παλαίσματα.

*Τὸ Συναξάριον, πρῶτον τοῦ Μηναίου εἶτα τὸ παρόν*

**Τῇ αὐτῇ ἡμέρᾳ ἑορτάζομεν τὴν σύναξιν τῶν ἐν Πεκίνῳ μαρτυρησάντων Κινέζων Ὀρθοδόξων χριστιανῶν κατὰ τὴν γενομένην τῷ ἔτει 1900 ἐπανάστασιν τῶν Μπόξερς.**

*Στίχοι*

Ἔχει καὶ Κίνα Μάρτυρας χριστοφόρους,
Ἀεὶ τὰς χεῖρας ὑπὲρ αὐτῆς ὑψοῦντας.
Σινῶν χθὼν δέδωκε καρπὸν Μάρτυρας φιλοθέους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὑπόμνημα

*Κατὰ τὸ σωτήριον ἔτος 1900, κηρυχθείσης τῆς ὑπὸ τῆς τότε κυριαρχούσης τὴν ἀχανῆ χώραν τῆς Κίνας βασιλομήτορος κατὰ πάντων τῶν ἀλλοδαπῶν ἐπαναστάσεως τῆς λεγομένης τῶν «Μπόξερς»(Πυγμάχων), εὗρον μαρτυρικὸν θάνατον καὶ οἱ ἐν Πεκίνῳ ὄντες Ὀρθόδοξοι, τὸν ἀριθμὸν διακόσιοι εἴκοσνι, ἐνῷ καί τινες ἕτεροι λιποψυχήσαντες ἠρνήσαντο τὴν εὐαγγελικὴν ἀλήθειαν. Τούτων πάντων προέστη ὁ χριστόψυχος ἱερεὺς Μητροφάνης Τσὶ Σούνγκ, οὗ τῷ παραδείγματι ἀκολουθοῦντες συνεμαρτύρησαν ποικίλοις τρόποις ἡ πρεσβυτέρα αὐτοῦ Τατιανή, οἱ υἱοὶ αὐτοῦ Ἠσαΐας καὶ Ἰωάννης, ἡ Μαρία μέλλουσα σύζυγος τοῦ Ἠσαΐου, ὡς ἐπίσης οἱ Παῦλος Γουάν, ἡ διδασκάλισσα Ἴα Γουέν, ὁ ὀκταέτης Ἰωάννης, ὁ Κλήμης Κούι Κίν, ὁ Ματθαῖος Χάι Τσουάν, ὁ ἀδελφός αὐτοῦ Βίτος, ἡ Ἄννα Σούϊ καὶ ἕτεροι πολλοὶ ὧν ὁ στεφοδότης Κύριος τῆς ζωῆς γινώσκει τὰ ὀνόματα.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*Ὠιδὴ ζ΄. Ἀναστάσιμος. Ἦχος α΄. Ὁ Εἱρμός.*

Σὲ νοητήν, Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί· ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἔφριξε γῆ, ἀπεστράφη ἥλιος, καὶ συνεσκότασε τὸ φῶς, διεῤῥάγη τὸ τοῦ Ναοῦ θεῖον καταπέτασμα, πέτραι δὲ ἐσχίσθησαν· διὰ σταυροῦ γὰρ ἦρται ὁ δίκαιος, ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Σὺ γεγονώς, ὡσεὶ ἀβοήθητος, καὶ τραυματίας ἐν νεκροῖς, ἑκουσίως τὸ καθ’ ἡμᾶς, ὁ ὑπερυψούμενος, πάντας ἠλευθέρωσας, καὶ κραταιᾷ χειρὶ συνανέστησας, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χαῖρε πηγή, ἀειζώου νάματος. Χαῖρε παράδεισε τρυφῆς. Χαῖρε τεῖχος τὸ τῶν πιστῶν. Χαῖρε Ἀπειρόγαμε. Χαῖρε ἡ παγκόσμιος χαρά, δι' ἧς ἡμῖν ἐξανέτειλεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Κανὼν τῆς Θεοτόκου. Σὲ νοητήν, Θεοτόκε κάμινον.*

Σὲ Ἰακώβ, Θεοτόκε κλίμακα, προφητικῶς κατανοεῖ· διὰ σοῦ γὰρ ἐπὶ τῆς γῆς, ὁ ὑπερυψούμενος, ὤφθη τοῖς ἀνθρώποις τε, συνανεστράφη ὡς αἰνετὸς τῶν Πατέρων, ηὐδόκησεν, ὁ Θεὸς καὶ ὑπερένδοξος.

Χαῖρε Σεμνή, τοῦ Ἀδὰμ τὸ κώδιον· ἐκ σοῦ προῆλθεν ὁ Ποιμήν, ἐνδυσάμενος ἀληθῶς, ὁ ὑπερυψούμενος ὅλον με τὸν ἄνθρωπον, δι' εὐσπλαγχνίαν ἀκατάληπτον, ὁ αἰνετὸς τῶν Πατέρων Θεός, καὶ ὑπερένδοξος.

*Τῶν Ἁγίων. Οὐκ ἐλάτρευσαν.*

Τὴν ἐπίγειον, ἀφήσαντες κατοίκησιν, ἄφθαρτον εὕρατε, ἐν ᾗ νῦν χαρμονικῶς, σκηνοῦντες μὴ παύσεσθε, εὔχεσθαι Μάρτυρες, ἱκετεύοντες, ὅπως εἰς τὴν ἐπίγνωσιν, τοῦ Χριστοῦ ἔλθῃ ἡ Κίνα.

Ὑπὲρ ἅπαντα, τὰ κάτω προτιμήσαντες, τὰ ἐπουράνια, ἐτύθητε ὁμαδόν, ἀδίκως μακάριοι, καὶ συνετάχθητε, τοῖς ἀθλήσασι, διὰ Χριστὸν τὸν Κύριον, καὶ ἐστέφθητε δικαίως.

Ῥήτωρ γέγονας, ὦ Ἰωάννη ἔνδοξε, Ἁγίου Πνεύματος, εἰπὼν τοῖς βασανισταῖς· οὐκ ἔστιν ἐπώδυνον, ὑπὲρ Χριστοῦ ἐναθλεῖν· ὅθεν τέτμησαι, τὴν κεφαλὴν καὶ δέδοσαι τῷ πυρὶ Θεῷ θυσία.

*Θεοτοκίον.*

Ἀγαπήσαντες, τὸν σὸν Υἱὸν οἱ Μάρτυρες, Θεομακάριστε, ἐνήθλησαν θαυμαστῶς, καὶ πόλιν κατέλαβον, ἀπαρασάλευτον, ἧς ἀξίωσον, τοὺς σὲ πιστῶς δοξάζοντας, καὶ τιμῶντας Παναγία.

*Καταβασία. Οὐκ ἐλάτρευσαν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ η΄. Ἀναστάσιμος. Ἦχος α΄. Ὁ Εἱρμός.*

Ἐν καμίνῳ Παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
Ὁ βουλήσει ἅπαντα ποιῶν, ὁ καὶ μετασκευάζων, ἐκτρέπων σκιὰν θανάτου, εἰς αἰώνιον ζωήν, τῷ πάθει σου Λόγε Θεοῦ, σὲ ἀπαύστως πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Σὺ καθεῖλες σύντριμμα Χριστέ, καὶ τὴν ταλαιπωρίαν, ἐν πύλαις καὶ ὀχυρώμασι τοῦ ᾅδου, ἀναστὰς ἐκ τάφου τριήμερος. Σὲ ἀπαύστως πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Τὴν ἀσπόρως καὶ ὑπερφυῶς, ἐξ ἀστραπῆς τῆς θείας, τεκοῦσαν τὸν μαργαρίτην, τὸν πολύτιμον Χριστόν, ὑμνήσωμεν λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Κανὼν τῆς Θεοτόκου. Ἐν καμίνῳ Παῖδες Ἰσραήλ.*

Τὴν παστάδα τὴν φωτοειδῆ, ἐξ ἧς ὁ τῶν ἁπάντων Δεσπότης, ὥσπερ νυμφίος προελήλυθε Χριστός, ὑμνήσωμεν ἅπαντες, ἐκβοῶντες· Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Χαῖρε θρόνε ἔνδοξε Θεοῦ· πιστῶν χαῖρε τὸ τεῖχος, δι᾽ ἧς φῶς τοῖς ἐν σκότει, ἐξανέτειλε Χριστός, τοῖς σὲ μακαρίζουσι, καὶ βοῶσι· Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Τῶν Ἁγίων. Παῖδας εὐαγεῖς.*

Στῶμεν εὐλαβῶς τῇ μαρτυρίᾳ, καὶ μὴ ὀῤῥοδήσωμεν συμμάρτυρες, ὅπως συναθλήσαντες, λάβωμεν τὸν στέφανον, ἀλλήλους ἐνεθάῤῥυνον, βασανιζόμενοι, Χριστοῦ οἱ ἀθληταὶ ἐν Πεκίνῳ, ὧν τὴν θείαν μνήμην, τιμῶμεν ἐπαξίως.
Ὕπνον θεωροῦμεν ἐν Κυρίῳ, τὸν θάνατον καὶ ζωῆς παραίτιον, Μάρτυρες ἐκραύγαζον, πρὸς τοὺς βασανίζοντας, διὸ τὰ μέλη κόπτετε, καὶ κατακαίετε, τὰ σώματα ἡμῶν ξιφηφόροι, ὅπως Παραδείσου, γενώμεθα πολῖται.
Μάρτυρες ὁρῶσι τοὺς ἀγῶνας, καὶ ἆθλα ἡμῶν ὑπὲρ τῆς πίστεως, οἱ Χριστοῦ πρωτότοκοι, ὅθεν οὐκ ἀρνούμεθα, ζωηφόρα δόγματα, παραδιδόμενοι, βασάνοις ἀνυποίστοις διῶκται, δι᾽ ὧν μετ᾽ ὀλίγον, ἑνούμεθα Δεσπότῃ.

*Θεοτοκίον.*

Νίκην κατ᾽ ἐχθρῶν τῶν ἀοράτων, παράσχου ἡμῖν Θεοχαρίτωτε, ἐν ἡμέρᾳ θλίψεως, νέφη διαλύουσα, τῶν πειρασμῶν πρεσβείαις σου καὶ τὴν ἀγάπησιν, πρὸς Κύριον, ὑπάναψον αὖθις, Ὃν ἐν ταῖς ἁγίαις, ἐβάστασας χερσί σου.

*Καταβασία.Παῖδας εὐαγεῖς.*

*ᾨδὴ θ΄. Ἀναστάσιμος. Ἦχος α΄. Ὁ Εἱρμός.*

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ᾽ ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σὲ Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Ὢ πῶς ὁ λαὸς ὁ ἄνομος, ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος, τὸν ἀλάστορα, καὶ ἀσεβῆ ἐδικαίωσε, τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε, τὸν Κύριον τῆς δόξης! Ὃν ἐπαξίως μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σῶτερ ὁ Ἀμνὸς ὁ ἄμωμος, ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος, σὲ δοξάζομεν τὸν ἀναστάντα τριήμερον, σὺν Πατρὶ καὶ τῷ θείῳ σου Πνεύματι, καὶ Κύριον τῆς δόξης, θεολογοῦντες μεγαλύνομεν.

*Θεοτοκίον.*

Σῶσον τὸν λαόν σου Κύριε, ὃν περ ἐκτήσω τῷ τιμίῳ σου αἵματι, κατ' ἐχθρῶν ἰσχύν, τῷ Βασιλεῖ χαριζόμενος, καὶ ταῖς σαῖς Ἐκκλησίαις φιλάνθρωπε, βραβεύων τὴν εἰρήνην, τῆς Θεοτόκου ταῖς ἐντεύξεσιν.

*Κανὼν τῆς Θεοτόκου. Τύπον τῆς ἁγνῆς λοχείας σου.*

Ῥίζης ἐκ Δαυῒδ ἐβλάστησας, προφητικῶς Παρθένε τοῦ θεοπάτορος· ἀλλὰ καὶ Δαυῒδ, ὡς ἀληθῶς σὺ ἐδόξασας, ὡς τεκοῦσα τὸν προφητευόμενον, τὸν Κύριον τῆς δόξης, ὃν ἐπαξίως μεγαλύνομεν.

Ἅπας ἐγκωμίων Πάναγνε, νόμος ἡττᾶται τῷ μεγέθει τῆς δόξης σου· ἀλλὰ Δέσποινα παρ' ἱκετῶν ἀναξίων μέν, ἐξ εὐνοίας δὲ σοὶ προσφερόμενον, προσδέχου Θεοτόκε, μετ' εὐμενείας τὸ ἐφύμνιον.

*Τῶν Ἁγίων. Ἅπας γηγενής.*

Ὅπερ ἐπὶ γῆς, ἐλπίδι κατείχετε, νῦν ἀπολαύετε, Μάρτυρες μακάριοι, Χριστοῦ ὁρῶντες τὸ θεῖον πρόσωπον, ᾄδοντες Ἀλληλούϊα, τῷ ἐσφαγμένῳ Ἀμνῷ, Οὗ τὸ πάθος, ἔργῳ ἐμιμήθητε, καὶ βασάνοις φρικτοῖς ἀπεθάνετε.

Ἴα θαυμαστή, τὸν βίον ἐτέλεσας, βασανισθεῖσα δισσῶς, καὶ Μαρία ἔνδοξε, ἀντὶ νυμφίου θνητοῦ ἀθάνατον, Νυμφίον εὗρες Κύριον, σὺν ταύταις Τατιανή, πρεσβυτέρα, καὶ λοιπαὶ ἀθλήτριαι, Παραδείσου τρυφᾶτε σκηνώμασι.

Στύλος ἀκλινής, ἐδείχθης Μητρόφανες θύτα σεπτὲ τοῦ Χριστοῦ, ὅτε ὥσπερ πρόβατον, ἐσφαγιάσθης ἅμα τῇ ποίμνῃ σου, λαβὼν τὸν θεῖον

στέφανον, καὶ νῦν ἐξ Ἄνω Σιών, σῆς πατρίδος μνήσθητι φιλάδελφε, ὅπως ἴδῃ τὸ φῶς τὸ σωτήριον.

*Θεοτοκίον.*

Ἄνασσα σεμνή, Υἱόν σου φιλάνθρωπον ἀεὶ ἱκέτευε, σὺν τοῖς θείοις Μάρτυσι, τοῖς ἐν Πεκίνῳ στεῤῥῶς ἀθλήσασι, καὶ αἵματα ἐκχύσασι ὑπὲρ Αὐτοῦ καρτερῶς, ὅπως Κίνας, λύσας τὴν σκοτόμαιναν, ἀναδείξῃ αὐτὴν καλλιέλαιον.

*Καταβασία. Ἅπας γηγενής.*

*Τὸ Ἅγιος Κύριος, καὶ τὰ Ἐξαποστειλάρια.*

*Ἀναστάσιμον Ἐξαποστειλάριον. Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ Μυροφόροι ἔχαιρον· εἶδον γὰρ νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ, καὶ αὐτὸς ταύταις ἔφη· Ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ, τοῖς Μαθηταῖς· Ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας· ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

*εἶτα τῶν Μαρτύρων*
*Ἦχος ὁ αὐτός.*

Ἁγίως πυγμαχήσαντες, κατ᾿ ἐχθροῦ τοῦ ἀρχαίου, ἀρχαίαν πλάνην Ἅγιοι, ἀπηλέγξατε πάντες, τῆς Κίνας πρῶται ὀφθέντες, ἀπαρχαὶ τῶν Μαρτύρων, διὸ ἀεὶ πρεσβεύετε, τῷ Χριστῷ ὑπὲρ ταύτης, ὅπως τὸ φῶς, τοῦ Εὐαγγελίου λάμψῃ πλουσίως, καταφωτίζον ἅπαντας, τοὺς ἐν ταύτῃ οἰκοῦντας.

*Θεοτοκίον, ὅμοιον.*

Ἄγγελος μὲν ἐκόμισε, τῇ Παρθένῳ τό, Χαῖρε, πρὸ σῆς Χριστὲ συλλήψεως, Ἄγγελος δὲ τὸν λίθον, ἐκύλισέ σου τοῦ τάφου· ἀντὶ


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

λύπης ὁ μὲν γάρ, χαρᾶς ἀφράστου σύμβολα, ὁ δὲ ἀντὶ θανάτου, σὲ χορηγόν, τῆς ζωῆς κηρύττων καὶ μεγαλύνων, καὶ λέγων τὴν ἀνάστασιν, γυναιξὶ καὶ τοῖς μύσταις.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

*Ἱστῶμεν στίχους η΄, καὶ ψάλλομεν· Στιχηρὰ ἀναστάσιμα δ'.*
*Ἦχος α΄.*

Ὑμνοῦμέν σου Χριστὲ τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ὁ σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος Παντοδύναμος.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει σου Χριστέ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ· ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί· ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρόν· ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθών, ἵνα σώσῃς τὸν κόσμον· Κύριε δόξα σοι.

*καὶ τῶν Μαρτύρων.*
*Ἦχος ὁ αὐτός. Πανεύφημοι μάρτυρες.*

Ὡς τέκνα φωτόμορφα Χριστοῦ, φαίνοντες μακάριοι, Σινῶν τὴν πλάνην ἠλέγξατε, καὶ φῶτα δεύτερα, ἀρεταῖς δειχθέντες, ζῶντα εὐαγγέλια, ὑπήρξατε διὸ δολιόφρονος, φθόνον ὑπέρμετρον καὶ μανίαν ἐκινήσατε, ὃς θανάτῳ, ὑμᾶς παραδέδωκε.

Ποθοῦντες τὴν μένουσαν ζωήν, τὴν παροῦσαν ἅπαντες, γενναιοφρόνως ἠρνήσασθε, καὶ πρὸς μαρτύρια, χαλεπὰ ῥιφθέντες, ἐν χαρᾷ ὑπέστητε, βασάνους τοῦ Χριστοῦ λογιζόμενοι, τὴν θείαν

σταύρωσιν, καὶ τὴν ἔνδοξον ἀνάστασιν, ὅθεν στέφος, εἰλήφατε ἄφθαρτον.
Τοῦ θείου Ποιμένος Ἰησοῦ, μιμητὴς Μητρόφανες, δειχθεὶς ποιμνίου σου γέγονας, τύπος ἐξαίρετος· ὅθεν μαρτυρίου, πρῶτος ἐκοινώνησας, διδάσκων πρακτικῶς πῶς χρὴ ἕκαστος, πίστιν Ὀρθόδοξον, ἐπιστέφειν χύσει αἵματος, εἰ δεήσοι, καὶ μάρτυς γενήσεσθαι.

Φλεχθέντες ἀγάπῃ τοῦ Χριστοῦ, Μάρτυρες τρισόλβιοι, προθύμως αἷμα ἐδώκατε, καὶ ἀντελάβετε, ζωὴν αἰωνίαν, βάσις ἀκατάσειστος, Σινῶν τῆς Ἐκκλησίας γενόμενοι, ὑπὲρ ἧς πάντοτε, τὸν Δεσπότην ἱκετεύετε, ὅπως ταύτην, αὐξάνῃ ἐν Πνεύματι.

*Δόξα. Ἦχος πλ.δ΄.*

Ὁδὸν Μαρτύρων προθύμως βαδίσαντες φιλόθεοι, ἐλπίδι ζωῆς τῆς μελλούσης κραταιούμενοι, τῶν παρόντων γενναίως ἀφειδήσατε ὡς μὴ ὄντων, καὶ ἀγάπῃ τοῦ Κυρίου πυρπολούμενοι, ταῖς ἀνυποίστοις βασάνοις θεῖον στέφος ὡς ἀθληταὶ ἀπειλήφατε. Ὅθεν ἐν Παραδείσῳ εὐφραινόμενοι, μνήσθητε τῶν ὁμαιμόνων ἀδελφῶν, καὶ πρεσβεύετε ἀπαύστως τῷ Κυρίῳ, ὑπὲρ τοῦ λείμματος τῆς Ὀρθοδοξίας, ἐν τῷ πατρίδι ὑμῶν μακάριοι.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅιδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

*Δοξολογία Μεγάλη.*

*Εἶτα τὸ παρὸν τροπάριον.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄισωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

*Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τῆς Β΄ Κυριακῆς Ματθαίου καὶ τῶν ἁγίων Νεομαρτύρων(βλ.τὰ τῆς προηγουμένης Κυριακῆς τῶν Ἁγίων Πάντων)*

Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.
& Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

*Μεγαλυνάρια*

Λάμποντες ἐν βίῳ θεοφιλεῖ, Μαρτύρων τῶν πάλαι, ἐγεγόνατε μιμηταί, ἐν τῇ χώρᾳ Κίνας, ὑπὲρ Χριστοῦ ποικίλας, βασάνους ὑποστάντες, θεομακάριστοι.

Μνήσθητε τοῦ λείμματος τοῦ Χριστοῦ, ἐν τῇ γῇ τῆς Κίνας, ἔνθα στέφος μαρτυρικόν, εἰλήφατε πάντες, θερμῶς ὁμολογοῦντες, πίστιν Ὀρθοδοξίας, ἀνθρωποσώτειραν.
Χαίροις ὦ Μητρόφανες ἱερέ, θύτα τοῦ Κυρίου, καὶ Μαρτύρων ὁ ἀρχηγός, τῶν ἐν χώρᾳ Κίνας, γενναίως ἀθλησάντων, μεθ' ὧν ἐκδυσωπεῖτε, Χριστὸν φιλάνθρωπον.

*Στίχοι*

*Ἡ πληθὺς σεπτῶν Χριστομαρτύρων Κίνας,*
*Ἔρωτι Χριστοῦ φλέξατ' ἡμῶν καρδίας.*